3 ἡ μὲν οὖν διασκευὴ αὕτη· Γοργίας ὁ Λεοντῖνος ἀπὸ Λεοντίνων τῶν ἐν τῇ Σικελίᾳ ἦλθε πρεσβευσόμενος πρὸς Ἀθηναίους περὶ συμμαχίας καὶ τοῦ πρὸς Συρρακουσίους πολέμου, εἶχε δὲ μετ' αὐτοῦ Πῶλον ῥητορικῇ χαίροντα, ἔμειναν δὲ ἐν τῷ οἴκῳ τοῦ Καλλικλέους, δημαγωγοῦ τῶν Ἀθηναίων. οὗτος δὲ ὁ Καλλικλῆς ἔχαιρε μὲν τοῖς δεινοῖς ῥήτορσιν, ἡδονὴν δὲ ἐποιεῖτο τοῦ βίου καὶ ἠπάτα τοὺς Ἀθηναίους τὸ δημοσθενικὸν ἐκεῖνο προάγων αἰεί· τί βούλεσθε; τὶ γράψω; τί ὑμῖν χαρίσωμαι; ὁ τοίνυν Γοργίας ἐπεδείξατο, καὶ οὕτως εἷλεν τὸν Ἀθηναίων δῆμον, ὡς τὰς μὲν ἡμέρας ἐν αἷς ἐπεδείκνυτο ἑορτὰς ἀποκαλεῖν, τὰ δὲ κῶλα λαμπάδας· ὅθεν ὁ Σωκράτης ὁρῶν οὕτως ἀπατώμενον τὸν δῆμον ὡς ἔχων ἐφηπλώμενον τὸ ἀγαθὸν ἐπὶ πάντας τοὺς νέους προαιρεῖται σώζειν αὐτῶν τῶν Ἀθηναίων τὰς ψυχὰς καὶ αὐτοῦ τοῦ Γοργίου· οὐκ ἀπαξιοῖ οὖν ἀλλὰ παραλαβὼν Χαιρεφῶντα, οὗ καὶ ἡ κωμῳδία μέμνηται, τὸν φιλόσοφον ἄπεισιν εἰς τὸν οἶκον Καλλικλέους· κἀκεῖσε γίνονται ἐντεύξεις καὶ θεωρημάτων κινήσεις. παρέλαβεν δὲ τὸν Χαιρεφῶντα καὶ οὐ μόνος αὐτὸς ἀπῆλθεν ἵνα δειχθῇ, πῶς ἐπιστήμονος γίνονται καὶ διαλέγονται. οὐκοῦν ἐν τούτοις ἡ διασκευὴ πληροῦται.

4 ὁ δὲ σκοπὸς ἄλλος ἄλλοις ἔδοξεν εἶναι. οἱ μὲν γάρ φασιν, ὅτι σκοπὸς αὐτῷ περὶ ῥητορικῆς διαλεχθῆναι καὶ ἐπιγράφουσι Γοργίας ἢ περὶ ῥητορικῆς, κακῶς δέ. οὗτοι γὰρ ἀπὸ μέρους τὸ ὅλον χαρακτηρίζουσιν· ἐπειδὴ γὰρ Γοργίᾳ διελέχθη περὶ ῥητορικῆς ἐκ τούτου τὸν σκοπὸν ἐπορίσαντο· καίτοι οὐδὲ πολλοί εἰσιν οἱ τοιοῦτοι λόγοι. ἄλλοι δέ φασιν, ὅτι περὶ δικαιοσύνης καὶ ἀδικίας διαλέγεται, ὡς ἂν τῶν μὲν δικαίων εὐδαιμόνων ὄντων, τῶν δὲ ἀδίκων ἀτυχῶν καὶ ἀθλίων, καὶ ὅσῳ ἂν ἄδικός τις εἴη, τοσούτῳ ἀθλιώτερος, κἂν πολυχρόνιον ἔχῃ τὴν ἀδικίαν, μᾶλλον ἀθλιώτερος, κἂν ἀθάνατος δὲ ᾖ, ἔτι

---

7 Demosth. orat. III 22

---

1 mg. α'. διασκευή  7 mg. ση. τὸν Δημοσθενικὸν λόγον
21 mg. β'

---

3 Συρρακουσίους scripsi Συρρακωσίους M  8 χαρίσωμαι scripsi χαρήσομαι M  9 τὸν ς τῶν M  24 διελέχθη ς διηλέχθη M  29 ὅσῳ ς ὅσο M